Ακαδημία Αθηνών / Academy of Athens

Φιλόλαος 11.12 *πάντα γ ν ω σ τ ὰ καὶ ποτάγορα ἀλλάλοις κατὰ γνώμονος φύσιν ἀπεργάζεται.*

**γόμφος.** Συνδετικὴ σφήνα, connecting boet/clamp, Παρμενίδης 1.20 *γ ό μ φ ο ι ς καὶ περόνησιν ἀρηρότε* Ἐμπεδοκλῆς 87 *γ ό μ φ ο ι ς ἀσκήσασα καταστόργοις Ἀφροδίτη.* Πρβλ. *γομφοῦν.*

**γομφοῦν.** Συμπηγνύω/πήζω, coagulate/curdle, Ἐμπεδοκλῆς 33 *ὀπὸς γάλα λευκὸν ἐ γ ό μ φ ω σ ε ν.*

**γονή.** Γονιμοποίηση, fertilization, Δημόκριτος Α 151 (DK II 125,17) *ἐπὶ τὴν τῆς γ ο ν ῆ ς αὐτῶν συνήθειαν* 122 a *γυνὴ . . . γ ο ν ή* τις οὖσα, ἡ γ ο ν ῆ ς *δεκτική.* Πρβλ. *ἔκγονον.*

**γόνυ.** Γόνατο, knee, Ἐμπεδοκλῆς 29.2, 134.3 *οὐ θοὰ γ ο ῦ ν(α)* Διογένης 6.21 *παρὰ τὸ γ ό ν υ τείνουσιν.*

**γράμμα 1.** Γράμμα τοῦ ἀλφαβήτου, letter of the alphabet, Δημόκριτος 18 b (τίτλ.) *Περὶ εὐφώνων καὶ δυσφώνων γ ρ α μ μ ά τ ω ν.* || **γράμματα μανθάνειν.** Μαθαίνω γράμματα, learn lessons, Δημόκριτος 179 *οὔτε γ ρ ά μ μ α τ' ἂν μ ά θ ο ι ε ν οὔτε μουσικὴν οὔτε ἀγωνίην* **2.** Σύγγραμμα, treatise, Δημόκριτος 1 (τίτλ.) *ἐν τοῖς Περὶ τοῦ Ἅιδου γ ρ ά μ μ α σ ι ν.*

**γραμμή.** Γραμμή, line, Δημόκριτος 11 p (τίτλ.) *Περὶ ἀλόγων γ ρ α μ μ ῶ ν καὶ ναστῶν Α Β.*

**γράφειν.** Ζωγραφίζω/γράφω, paint/write, Ξενοφάνης 15.2 *γ ρ ά ψ α ι χείρεσι . . . θεῶν ἰδέας ἔ γ ρ α φ ο ν* Δημόκριτος 18 ποιητὴς δὲ ἅσσα μὲν ἂν *γ ρ ά φ η.* || **γράφεσθαι.** Γράφομαι/θεσπίζομαι, be written/be decreed. Δημόκριτος 259.3 *ὅκωσπερ περὶ κιναδέων τε καὶ ἑρπετέων γ ε γ ρ ά φ α τ α ι τῶν πολεμίων.* || **γραπτός.** Ζωγραφισμένος, painted, Ἐμπεδοκλῆς 128.5 *γ ρ α π τ ο ῖ ς τε ζῴοισι.*

**γραφεύς.** Ζωγράφος, painter, Ἐμπεδοκλῆς 23.1 *ὡς δ' ὁπόταν γ ρ α φ έ ε ς ἀναθήματα ποικίλλωσιν.* Πρβλ. *γράφειν.*

**γυῖα 1.** Τὰ μέλη τοῦ σώματος, parts of the body/organs, Ἐμπεδοκλῆς 2.1 *στεινωποὶ μὲν γὰρ παλάμαι κατὰ γ υ ῖ α κέχυνται* 3.13 *μήτε τι τῶν ἄλλων, ὁπόση πόρος ἐστὶ νοῆσαι, γ υ ί ω ν πί-*

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

Ακαδημία Αθηνών / Academy of Athens



στιν ἔρυκε 20.3 *Φιλότητι συνερχόμεν' εἰς ἓν ἅπαντα* γ υ ῖ α 27.1 *ἠελίοιο διείδεται ὠκέα* γ υ ῖ α 31 γ υ ῖ α *θεοῖο* 58 γ υ ῖ α *ἐπλανᾶτο* 100.22 *αἷμα κλαδασσόμενον διὰ* γ υ ί ω ν 128.10 *ἠέα* γ υ ῖ α 134.1 *οὐδὲ γὰρ ἀνδρομέῃ κεφαλῇ κατὰ* γ υ ῖ α *κέκασται* **2.** Τὰ χέρια, hands, Ἐμπεδοκλῆς 115.3 *εὖτέ τις ἀμπλακίῃσι φόνῳ φίλα* γ υ ῖ α *μιήνῃ* **3.** Γεννητικὰ ὄργανα, genitals/organs of reproduction, Ἐμπεδοκλῆς 61.4 *πολλὰ μὲν ἀμφιπρόσωπα καὶ ἀμφίστερνα φύεσθαι, βουγενῆ ἀνδρόπρωρα, τὰ δ' ἔμπαλιν ἐξανατέλλειν ἀνδροφυῆ βούκρανα, μεμειγμένα τῇ μὲν ἀπ' ἀνδρῶν τῇ δὲ γυναικοφυῆ σκιεροῖς ἠσκημένα* γ υ ί ο ι ς. ‖ **γυῖον.** Ἐμπεδοκλῆς 62.8 *τοὺς μὲν πῦρ ἀνέπεμπε θέλον πρὸς ὁμοῖον ἱκέσθαι, οὔτε τί πω μελέων ἐρατὸν δέμας ἐμφαίνοντας οὔτ' ἐνοπὴν οἷόν τ' ἐπιχώριον ἀνδράσι* γ υ ῖ ο ν. Πρβλ. *αἰδοῖον, μῆδος.*

**γυμνός.** Γυμνός, naked, Ἐμπεδοκλῆς 57 γ υ μ ν ο ὶ ... *βραχίονες.*

**γυναικοφυής.** Γυναικοφυής/γυναικόμορφος, of female nature, Ἐμπεδοκλῆς 61.4 *τῇ μὲν ἀπ' ἀνδρῶν τῇ δὲ* γ υ ν α ι κ ο φ υ ῆ.

**γυνή.** Γυναίκα, woman, Ἐμπεδοκλῆς 21.10 *ἀνέρες ἠδὲ* γ υ ν α ῖ κ ε ς 23.6 *δένδρεά τε κτίζοντε καὶ ἀνέρας ἠδὲ* γ υ ν α ῖ κ α ς 62.1 *ἀνδρῶν τε πολυκλαύτων τε* γ υ ν α ι κ ῶ ν 65.1 *τὰ μὲν τελέθουσι* γ υ ν α ῖ κ ε ς 112.8 *ἀνδράσιν ἠδὲ* γ υ ν α ι ξ ί, *σεβίζομαι* Διογένης 6.44 *ἕτεραι* (sc. *φλέβες*) ... *τελευτῶσιν εἰς τοὺς ὄρχεις τοῖς ἀνδράσι, ταῖς δὲ* γ υ ν α ι ξ ὶ ν *εἰς τὰς ὑστέρας* Δημόκριτος 122 γ υ ν ὴ *ἡ ... γονή τις οὖσα, ἡ γονῆς δεκτική* 110 γ υ ν ὴ *μὴ ἀσκείτω λόγον· δεινὸν γὰρ* 111 *ὑπὸ* γ υ ν α ι κ ὸ ς *ἄρχεσθαι ὕβρις εἴη ἂν ἀνδρὶ ἐσχάτη* 214.3 *ἔνιοι δὲ πολίων μὲν δεσπόζουσι,* γ υ ν α ι ξ ὶ *δὲ δουλεύουσιν* 273 γ υ ν ὴ *πολλὰ ἀνδρὸς ὀξυτέρη πρὸς κακοφραδμοσύνην* 274 *κόσμος ὀλιγομυθίη* γ υ ν α ι κ ί. Πρβλ. *θῆλυ, κόρη.*

**γωνία.** Γωνία, angle, Δημόκριτος 155 a *καὶ ἡ σφαῖρα ὡς* γ ω ν ί α *τις οὖσα τέμνει.*

**γωνοειδής.** Γωνιοειδής, angular, Δημόκριτος Α 135 (65) (DK II 118,5) *τὸν μὲν οὖν ὀξὺν εἶναι τῷ σχήματι* γ ω ν ο ε ι δ ῆ *τε καὶ πολυκαμπῆ ... τραχὺν δ' ὄντα καὶ* γ ω ν ο ε ι δ ῆ.

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ